φίσατο, περὶ δὲ τῶν παίδων, ὅτι Ἤιδειν αὐτοὺς θνητοὺς γεννήσας.

μοῦ πάλαι ἡ φύσις κατεψηφίσατο· » περὶ δὲ τῶν παίδων, ὅτι «ᾔδειν αὐτοὺς θνητοὺς γεννήσας.»

Ἐν Λαμψάκῳ δὲ τελευτῶν, τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων εἰπεῖν τί βούλεται αὐτῷ γενέσθαι, Τοὺς παῖδας, εἶπεν, ἐν ᾧ ἀποθνήσκει μηνὶ κατ' ἔτος παίζειν συγχωρεῖν.

II, 3, 14. Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι κατέστρεψεν· ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων τί βούλεται αὐτῷ γενέσθαι, φάναι, « τοὺς παῖδας ἐν ᾧ ἂν ἀποθάνῃ μηνὶ κατ' ἔτος παίζειν συγχωρεῖν.»

Σωκράτης, ἐν ταῖς ζητήσεσι βιαιότερον διαλεγόμενος καὶ κονδυλιζόμενος παρὰ τοῦτο καὶ τιλλόμενος, ἔφερεν ἀνεξικάκως. Καί ποτε λακτισθείς, ἐπειδὴ ἠνείχετο, θαυμάσαντός τινος, εἶπεν· Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον ;

II, 5, 21. πολλάκις δὲ βιαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον κονδυλίζεσθαι καὶ παρατίλλεσθαι, τὸ πλέον τε γελᾶσθαι καταφρονούμενον· καὶ πάντα ταῦτα φέρειν ἀνεξικάκως· ὅθεν καὶ λακτισθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάσαντος, εἰπεῖν, « εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον ; »

Εὐριπίδου δόντος αὐτῷ τὸ Ἡρακλείτου σύγγραμμα καὶ ἐρομένου Τί σοι δοκεῖ ; εἶπεν· Ἃ μὲν συνῆκα γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ.

II, 5, 22. φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τὸ τοῦ Ἡρακλείτου σύγγραμμα ἐρέσθαι, «τί δοκεῖ ;» τὸν δὲ φάναι, « ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ. »

Ἀλκιβιάδου διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα οἰκοδομήσηται οἰκίαν, εἶπε· Καὶ εἰ ὑποδημάτων

II, 5, 24. Καί ποτε Ἀλκιβιάδου, καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων,

4-9. Ἐν λαμψάκῳ — συγχωρεῖν ΔΕ: λείπουσι Π 16. ἠνείχετο ΔΠ: ἠνέσχετο Π 17. θαυμάσαντός τινος ἔγραψα: θαυμάσαντος τινὸς ΔΠ: τινὸς θαυμάσαντος Ε εἶπεν ΔΠ: εἰπεῖν Ε 30. οἰκοδομήσηται ΔΠ: ἐνοικοδομήσηται Ε 29. ἀλκιβιάδου ΔΠ: καὶ ποτε — ὑπομνημάτων Ε 31. εἶπε καὶ εἰ Δ: εἶπεν εἰ καὶ Π: φάναι καὶ εἰ Ε

ἔδει καὶ βύρσαν μοι ἐδίδους, ἵνα ὑποδήματα ποιησαίμην, καταγέλαστος ἦν ἂν λαβών.

Πολλάκις δὲ ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων, ἔλεγε· Πόσων ἐγὼ χρείαν οὐκ ἔχω. Καὶ συνεχῶς ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα·

Τὰ δ' ἀργυρώματ' [ἐστὶν] ἥ τε πορφύρα
ἐς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

Αἰσχίνου εἰπόντος Πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν, Ἆρ' οὖν, εἶπεν, οὐκ αἰσθάνῃ τὰ μέγιστά μοι διδούς;

Μέλλοντι δὲ αὐτῷ τὸ κώνειον πίεσθαι, Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλόν, ἵν' ἐκείνῳ ἐναποθάνοι. Καὶ ὅς Τί δ', ἔφη, τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν δὲ οὐχί;

Πρὸς δὲ Ξανθίππην προτερον μὲν λοιδοροῦσαν, ὕστερον δὲ καὶ περιχέασαν αὐτῷ, Οὐκ ἔλεγον.

διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα ἐνοικοδομήσηται οἰκίαν, φάναι, «καὶ εἰ ὑποδημάτων ἔδει, καὶ βύρσαν μοι ἐδίδους, ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην, καταγέλαστος ἦν ἂν λαβών.»

II, 5, 25. πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων ἔλεγε πρὸς αὐτόν, «πόσων ἐγὼ χρείαν οὐκ ἔχω.» καὶ συνεχὲς ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα·

Τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

II, 5, 34. Αἰσχίνου δὲ εἰπόντος, «πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν»· «ἆρ' οὖν, εἶπεν, οὐκ αἰσθάνῃ τὰ μέγιστά μοι διδούς;»

II, 5, 35. μέλλοντί τε αὐτῷ τὸ κώνειον πίεσθαι Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλόν, ἵν' ἐκείνῳ ἐναποθάνοι· καὶ ὅς, «τί δέ, ἔφη, τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν δὲ οὐχί;»

II, 5, 36. Πρὸς Ξανθίππην πρότερον μὲν λοιδοροῦσαν, ὕστερον δὲ καὶ περιχέασαν αὐτῷ,

3. ἦν ΠΕ: ἣν Δ  7. δὲ Δ: δ' ΠΕ  8. ἔλεγε ΔΠ: ἔλεγε πρὸς αὐτὸν Ε  11. ἰαμβεῖα ΠΕ: ἰαμβεία Δ  12. ἀργυρώματ' ἐστὶν Ε: ἀργυρώματα ΔΠ  14. ἐς ΔΠ: εἰς Ε  χρήσιμ' ΠΕ: χρήσιμα Δ  16. αἰσχίνου ΠΕ: αἰσχύνου Δ  εἰπόντος Π: πρὸς αὐτὸν εἰπόντος Δ: δὲ εἰπόντος Ε  18. εἶπεν ΔΕ: λείπει Π  19. τὰ ΔΕ: εἶπε τὰ Π  21. δὲ Δ: δ' Π: τε Ε  24. δ' ΔΠ: δὲ Ε  27. δὲ ΔΠ: λείπει Ε  29. περιχέασαν ΠΕ: περιχέασαν ὕδωρ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Φ. Τ.Φ. Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

εἶπεν, ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει; Πρὸς Ἀλκιβιάδην εἰπόντα Οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, Ἀλλ' ἔγωγε, εἶπε, συνείθισμαι. Καὶ σὺ δὲ χηνῶν βοώντων ἀνέχῃ. Τοῦ δὲ εἰπόντος Ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς τίκτουσι, Κἀμοί, ἔφη, Ξανθίππη παιδία γεννᾷ. Ποτὲ δὲ αὐτοῦ θοἰμάτιον περιελομένης, ὡς συνεβούλευον οἱ γνώριμοι χερσὶν ἀμύνεσθαι, Νὴ Δία, εἶπεν, ἵνα, ἡμῶν πυκτευόντων, ἕκαστος ὑμῶν λέγῃ Εὖγε Σώκρατες, Εὖγε Ξανθίππη. Ἔλεγε δέ· Καθ' ἅπερ οἱ ἱππικοί, θυμοειδέσιν ἵπποις συνόντες, ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγώ, Ξανθίππῃ χρώμενος, τραχείᾳ οὔσῃ, τοῖς ἄλλοις ἀνθρώποις καλῶς συμπεριενεχθήσομαι.

Ἐρωτηθεὶς πότερον ἄμεινον γῆ-

«οὐκ ἔλεγον, εἶπεν, ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει;» πρὸς Ἀλκιβιάδην εἰπόντα ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, «ἀλλ' ἔγωγ', ἔφη, συνείθισμαι, καθαπερεὶ καὶ τροχιλίας ἀκούων συνεχές.» (37) «καὶ σὺ μέν, εἶπε, χηνῶν βοώντων ἀνέχῃ.» τοῦ δὲ εἰπόντος, ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς τίκτουσι,» «κἀμοί, φησί, Ξανθίππη παιδία γεννᾷ.» ποτὲ αὐτῆς ἐν ἀγορᾷ καὶ θοἰμάτιον περιελομένης συνεβούλευον οἱ γνώριμοι χερσὶν ἀμύνασθαι, «νὴ Δί', εἶπεν, ἵν' ἡμῶν πυκτευόντων ἕκαστος ὑμῶν λέγῃ, εὖ Σώκρατες, εὖ Ξανθίππη.» ἔλεγε συνεῖναι τραχείᾳ γυναικὶ καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις. «ἀλλ' ὡς ἐκεῖνοι, φησί, τούτων κρατήσαντες ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγὼ Ξανθίππῃ χρώμενος τοῖς ἄλλοις ἀνθρώποις συμπεριενεχθήσομαι.

II, 5, 33. ἐρωτηθεὶς πότερον

3. οὐκ ΔΠ: ὡς οὐκ Ε 4. λοιδοροῦσα Ε: λοιδωροῦσα Δ: λείπει Π 4-5. ἔγωγε εἶπε ΔΠ: ἔγωγ' ἔφη Ε 5. συνείθισμαι ΔΠ: συνείθισμαι — συνεχές Ε 6. δὲ Δ: δ' εἶπε Π: μὲν εἶπε Ε 8. ἔφη ΔΠ: φησὶ Ε 9. δὲ Δ: δ' Π: λείπει Ε 9-10. αὐτοῦ θοἰμάτιον ΔΠ: αὐτῆς ἐν ἀγορᾷ καὶ θοἰμάτιον Ε 10. ὡς ΔΠ: λείπει Ε 12. ἀμύνεσθαι ΔΠ: ἀμύνασθαι Ε δία ΔΠ: Δι' Ε ἵνα ΔΠ: ἵν' Ε 13. ὑμῶν Ε: ἡμῶν ΔΠ 14. λέγῃ ΔΕ: λέγοι Π 14 (δὶς) εὖγε ΔΠ: εὖ Ε 15. καθ' ἅπερ ἔγραψα: καθάπερ ΔΠΕ 16-17. δὲ — συνόντες ΔΠ: συνεῖναι — κρατήσαντες Ε 17. περιγίνονται ΔΕ: περιγίγνονται Π 19. τραχεία οὖσῃ ΔΠ: λείπουσιν Ε 20. καλῶς ΔΠ: λείπει Ε 25. ἐρωτηθεὶς ΠΕ: ἐρωτηθεὶς ὑπό τινος Δ ἄμεινον Δ: λείπει ΠΕ γῆμαι ΔΠ: γῆμαι Ε

μαι ἢ μή, ἔφη· Ὃ ἂν αὐτῶν ποιήσης, μεταγνώσῃ.

γήμαι ἢ μή, ἔφη, «ὃ ἂν αὐτῶν ποιήσῃς, μεταγνώσῃ.

Πρὸς τὸν εἰπόντα Οὐ σοὶ λοιδορεῖται ὁ δεῖνα; Οὐκ ἐμοί, ἔφη· οὐδὲν γὰρ ὧν λέγει πρόςεστί μοι.

II, 5, 37. πρὸς τὸν εἰπόντα, «οὐ σοὶ λοιδορεῖται ὁ δεῖνα;» «οὐχί, ἔφη· ἐμοὶ γὰρ οὐ πρόςεστι ταῦτα.»

Κρινομένου τούτου φασὶ Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ βῆμα καὶ εἰπεῖν· Νεώτατον ὄντα, ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβάντων· τοὺς δὲ δικαστὰς βοῆσαι καταβάντων, τουτέστι κατάβηθι. Ὅτ' οὖν κατεδικάσθη, τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτόν, Ἕνεκα μέν, εἶπε, τῶν ἐμοὶ πεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως.

II, 5,41. κρινομένου δ' αὐτοῦ φησιν Ἰοῦστος ὁ Τιβεριεὺς ἐν τῷ Στέμματι Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ βῆμα καὶ εἰπεῖν, «νεώτατος, ὤν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβάντων·» τοὺς δὲ δικαστὰς ἐκβοῆσαι, Κατάβα, κατάβα [τουτέστι κατάβηθι]. Ὅτ' οὖν καὶ κατεδικάσθη διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολυουσῶν· καὶ τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι, πέντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν. (42) Εὐβουλίδης μὲν γάρ φησιν ἑκατὸν ὁμολογῆσαι· θορυβησάντων δὲ τῶν δικαστῶν, «ἕνεκα μέν, εἶπε, τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν πρυτανείῳ σιτήσεως.»

Φασὶ τὸν Κλεινίαν εὐειδέστατον γενέσθαι καὶ ἐρασθῆναι αὐτοῦ Σωκράτην, καί ποτε πρὸς αὐτὸν εἰπεῖν· Νῦν γὰρ ἐγὼ Κλεινίαν

II, 6, 48. καὶ αὐτόν φησιν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τροφῆς ἐρασθῆναι Κλεινίου· (49) πρὸς ὃν καὶ ταῦτα εἰπεῖν·

1. ἢ ΔΕ: δεῖ ἢ Π 4. οὐκ ἐμοὶ ΔΠ: οὐχὶ Ε 5. οὐδὲν — μοι ΔΠ: ἐμοὶ—ταῦτα Ε 7-9. τούτου — εἰπεῖν ΔΠ: δ' αὐτοῦ — εἰπεῖν Ε 9. νεώτατον ὄντα, ΔΠ: νεώτατος ὢν ὦ Ε 11-12. βοῆσαι καταβάντων ΔΠ: ἐκβοῆσαι κατάβα κατάβα Ε 13. ὅτ' (ὅτε Δ) οὖν κατεδικάσθη ΔΠ: ὅτ' οὖν καὶ κατεδικάσθη — ἀπολυουσῶν· καὶ Ε 14-15. αὐτὸν ΔΠ: αὐτὸν ἢ ἀποτῖσαι — δικαστῶν Ε 15. ἕνεκα ΔΕ: ἕνεκεν Π 16. πεπραγμένων ΔΠ: διαπεπραγμένων Ε 27-30. φασὶ — εἰπεῖν ΔΠ: καὶ αὐτὸν — εἰπεῖν Ε

ΙΩΑΝΝΙΝΑ 2006

ἥδιον θεῶμαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων δεξαίμην ἂν ἢ ἐκείνου ἑνὸς ὄντος γενέσθαι· ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην ἔχω χάριν, οἵ μοι Κλεινίαν ἀναφαίνουσιν.

«νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα τὰ ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι· ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι».

Ἀρίστιππος ὁ Κυρηναῖος ἱκανὸς ἦν ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προςώπῳ. Διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων εὐδοκίμει μᾶλλον.

II, 8, 65. Ἀρίστιππος ... Κυρηναῖος ... (66) Ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προςώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμοδίως ὑποκρίνασθαι· διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων εὐδοκίμει μᾶλλον ...

Καί ποτε, Διονυσίου προςπτύσαντος αὐτῷ, ἠνέσχετο. Μεμψαμένου δέ τινος, Εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράματι ῥανθῆναι, ἵνα βλέννον λάβω;

II, 8, 67. Διονυσίου δὲ προςπτύσαντος αὐτῷ ἠνέσχετο. μεμψαμένου δέ τινος, «εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράματι ῥανθῆναι, ἵνα βλέννον λάβω;»

Διονυσίῳ τριῶν ἑταιρῶν οὐσῶν,

II, 8, 67. Διονυσίου δέ ποτε

1. ἥδιον ΔΠ: ἥδιον μὲν Ε τἄλλα ἔγραψα: τάλλα ΔΠΕ πάντα ΔΠ: πάντα τὰ Ε 3. ἁπάντων ΔΠ: πάντων Ε 4. ἐκείνου ΔΠ: Κλεινίου Ε 7. ἔχω χάριν οἵ ΔΠ: χάριν οἶδα ὅτι Ε 8. ἀναφαίνουσιν ΔΠ: ἀναφαίνουσι Ε 12-13. ἱκανὸς ἦν ΔΠ: Ἦν δὲ ἱκανὸς Ε 14. προςώπω ΔΠ: προςώπῳ — ὑποκρίνασθαι Ε 19. καί ποτε διονυσίου ΔΠ: Διονυσίου δὲ Ε 20. ἠνέσχετο Ε: ἠνείχετο ΔΠ 25. ῥανθῆναι ΠΕ: ρανθῆναι Δ βλέννον Ε: βλένον ΔΠ 27. διονυσίω ΔΠ: Διονυσίου Ε τριῶν ΔΠ: δέ ποτε τριῶν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τὴν μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπὼν Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι. Ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς. Διό ποτε Πλάτωνα, οἱ δὲ Στράτωνα πρὸς αὐτόν φασιν, εἰπεῖν Σοὶ μόνῳ δέδοται καὶ χλαμύδα φορεῖν καὶ ῥάκος.

τριῶν ἑταιρῶν οὐσῶν μίαν ἐκλέξεσθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν εἰπών, « οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι·» ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος ἀπέλυσεν. οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς. διό ποτε Στράτωνα, οἱ δὲ Πλάτωνα, πρὸς αὐτὸν εἰπεῖν, « σοὶ μονῳ δέδοται καὶ χλανίδα φορεῖν καὶ ῥάκος. »

Παριόντα δέ ποτε αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψεν, εἰπὼν Εἰ ταῦτ' ἔμαθες προςφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. Ὁ δὲ Καὶ σὺ, εἶπεν, εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες. Ἐρωτηθεὶς δέ ποτε τί περιγέγονεν αὐτῷ ἐκ φιλοσοφίας, ἔφη· Τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν. Ὀνειδιζόμενος δ' ἐπὶ τῷ πολυτελῶς ζῆν, Εἰ τοῦτ', ἔφη, φαῦλον ἦν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο.

II, 8, 68. Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψε, καί φησιν « εἰ ταῦτα ἔμαθες προςφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. » ὁ δέ, « καὶ σύ, εἶπεν, εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες. » Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, « τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν. » ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν, « εἰ τοῦτ' ἔφη, φαῦλον ἦν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο. »

Ἐρωτηθεὶς ὑπὸ Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν

II, 8, 69. ἐρωτηθεὶς ὑπὸ Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι

1. τὴν ΔΠ: λείπει Ε 4. προκρῖναι ΔΕ: προκρίναι Π 8. πλάτωνα οἱ δὲ στράτωνα ΔΠ: Στράτωνα οἱ δὲ Πλάτωνα Ε 9. πρὸς αὐτὸν φασιν Π: φασὶ πρὸς αὐτὸν Δ: πρὸς αὐτὸν Ε 10. χλαμύδα ΔΠ: χλανίδα Ε 10-11. φορεῖν καὶ ῥάκος ΔΕ: καὶ ῥάκος φορεῖν Π 13. δέ ποτε ΔΠ: ποτὲ Ε 14-15. ἔσκωψεν εἰπὼν ΔΠ: ἔσκωψε καὶ φησιν Ε 15. ταῦτ' ΔΠ: ταῦτα Ε 16. αὐλὰς ΔΕ: αὐλᾶς Π 20. δέ ποτε Π: δὲ ποτὲ Δ: λείπει Ε περιγέγονεν αὐτῷ ΔΠ: αὐτῷ περιγέγονεν Ε 23. δ' Π: δὲ Δ: ποτ' Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Ε. Ε. Φ. ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, εἶπεν· Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν. | ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη, « ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν. » |
| Εἰςιὼν ποτε εἰς ἑταίρας οἰκίαν, τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, Οὐ τὸ εἰςελθεῖν, ἔφη, χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν. | II, 8,69. εἰςιών ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, « οὐ τὸ εἰςελθεῖν, ἔφη, χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν. » |
| Αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος Λῦσον, Τί, ὦ μάταιε, λῦσαι, ἔφη, θέλεις ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει ; | II, 8, 70. αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος, Λῦσον, « τί, ὦ μάταιε, ἔφη, λῦσαι θέλεις ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει ; » |
| Λοιδορούμενος δέ ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος Τί φεύγεις ; Ὅτι, φησί, τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ. Εἰπόντος δέ τινος ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις, Καὶ γὰρ ἰατροί, φησι, παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ παρὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν. | II, 8, 70. λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος, Τί φεύγεις ; « ὅτι, φησί, τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ. » εἰπόντος τινὸς ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις, « καὶ γὰρ καὶ οἱ ἰατροί, φησί, παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ παρὰ τοῦτό τις ἂν ἕλοιτο νοσεῖν ἢ ἰατρεύειν. » |
| Εἰς Κόρινθον δ' αὐτῷ πλέοντι | II, 8, 71. Εἰς Κόρινθον αὐτῷ |

4. δὲ ΔΠ: δ' Ε   7. τῶν ΔΠ: καὶ τῶν Ε   9. ἀλλὰ τὸ ΔΕ: τὸ δὲ Π   11. αἴνιγμά τινος Ε: αἴνιγμα τινὸς ΔΠ   12. λῦσον ΠΕ: λύσον Δ   13. μάταιε ΔΠ: μάταιε ἔφη Ε   λῦσαι ΠΕ: λύσαι Δ   ἔφη ΔΠ: λείπει Ε   16. λοιδορούμενος ἔγραψα: λοιδωρούμενος ΔΠ: λοιδορούμενός Ε   δέ ποτε ΔΠ: ποτε Ε   17. ἐπιδιώκοντος ΠΕ: ἔτι διώκοντος Δ   21. δέ τινος ΔΠ: τινὸς Ε   22. βλέποι Ε: βλέπει ΔΠ   22-23. ταῖς τ. π. θύραις ΔΕ: τὰς τ. π. θύρας Π   23. γὰρ ΔΠ: γαρ καὶ οἱ Ε   24. φησι Π: φησί Ε: φασι Δ   25. τοῦτό τις Ε: τοῦτο τίς ΔΠ   ἕλοιτ' ἂν ΔΠ: ἂν ἕλοιτο Ε   27. δ' ΔΠ: λείπει Ε   πλέοντι ΔΠ: πλέοντί ποτε Ε

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΙΑΠΕΚ ... ΙΩΑΝΝΙΝΑ 2006

καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε, Οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν. Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη· Ὥςπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προςφερομένων, οὕτως οὐχ οἱ πολλὰ, ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντές εἰσι σπουδαῖοι.

Ἐρωτηθεὶς ὑπό τινος τί ἀμείνων ἔσται ὁ υἱὸς αὐτοῦ παιδευθεὶς, Εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ἐπὶ λίθῳ. Συνιστάντος αὐτῷ τινος τὸν υἱόν, ᾔτησε πεντακοσίας δραχμάς. Τοῦ δὲ εἰπόντος Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι, Πρίω, ἔφη, καὶ ἕξεις δύο.

Ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. πρὸς οὖν τὸν εἰπόντα, «ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δ' οἱ φιλόσοφοι δειλιᾶτε,» «οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἑκάτεροι.» σεμνυνομένου τινὸς ἐπὶ πολυμαθείᾳ ἔφη, «ὥςπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες [καὶ γυμναζόμενοι] ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προςφερομένων, οὕτως οὐδὲ οἱ πολλὰ ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντές εἰσι σπουδαῖοι.»

II, 8,72. ἐρωτηθεὶς ὑπό τινος τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς, «καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ἐπὶ λίθῳ.» συνιστάντος τινὸς αὐτῷ υἱὸν ᾔτησε πεντακοσίας δραχμάς· τοῦ δ' εἰπόντος, «τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι,» «πρίω, ἔφη, καὶ ἕξεις δύο.»

II, 8, 72. ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, «καὶ γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.»

4. δὲ ΔΠ: δ' Ε 6. ἀγωνιῶμεν ΔΠ: ἀγωνιῶμεν ἑκάτεροι Ε 7. πολυμαθία ΔΠ: πολυμαθείᾳ Ε 8. οὐχ ΠΕ: λείπει Δ ἐσθίοντες ΔΠ: ἐσθίοντες [καὶ γυμναζόμενοι] Ε 8-9. ὑγιαίνουσι ΠΕ: οὐχὶ ὑγιαίνουσι Δ 10. οὐχ ΔΠ: οὐδὲ Ε 11-12. ἀναγινώσκοντές εἰσι Ε: ἀναγινώσκοντες εἰσὶ ΔΠ 14-15. ἀμείνων — αὐτοῦ ΔΠ: αὐτοῦ — ἔσται Ε 16. εἰ ΔΠ: καὶ εἰ Ε 18. αὐτῷ τινος ΔΠ: τινὸς αὐτῷ Ε τὸν ΔΠ: λείπει Ε 20. δὲ ΔΠ: δ' Ε
22. πρίω ΔΕ: πριῶ Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΕΠ Κα.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Ἀναγκαζόμενος ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις. Ἐπὶ τούτῳ ἀγανακτήσας Διονύσιος ἔσχατον αὐτὸν κατέκλινεν. Ὁ δὲ Ἐνδοξότερον, ἔφη, τὸν τόπον ἠθέλησας ποιῆσαι. Αὐχοῦντος δέ τινος ἐπὶ τῷ κολυμβᾶν, Οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος; | II, 8,73. ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, «γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ μανθάνεις, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις.» ἐπὶ τούτῳ δὴ ἀγανακτήσαντα τὸν Διονύσιον ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τόν, «ἐνδοξότερον, φάναι, τὸν τόπον ἠθέλησας ποιῆσαι.» αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, «οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος;» |
| Καὶ ἄλλου δὲ ἐπὶ τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ἡμίονός, φησι. | II, 8,73. αὐχοῦντός τινος ἐπὶ τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, «τοῦτο καὶ ἡμίονος» φησί. |
| Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψώνια Σὺ δ' οὐκ ἄν, ἔφη, ταῦτα τριωβόλου ἐπρίω; Τοῦ δὲ ὁμολογήσαντος, Οὐκέτι τοίνυν, εἶπε, φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάργυρος. | II, 8,75. πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν ἔφη, «σὺ δ' οὐκ ἂν τριωβόλου ταῦτ' ἐπρίω;» ὁμολογήσαντος δέ, «οὐκέτι τοίνυν, ἔφη, φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάργυρος.» |
| Ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη Ὡς ἂν ἐγὼ εὐξαίμην. | II, 8,76. ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη, «ὡς ἂν ἐγὼ εὐξαίμην.» |
| Πλέων ποτέ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυ- | II, 8,77. πλέων ποτὲ ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν |

1. ἀναγκαζόμενος ΔΠ: ἀναγκαζόμενός ποτε Ε 4. πυνθάνῃ ΔΠ: μανθάνεις Ε 5-8. τούτω — ἔφη ΔΠ: τούτῳ δὴ — φάναι Ε 9. αὐχοῦντος δέ τινος ΔΠ: αὐχοῦντός τινος Ε 14. καὶ ἄλλου ΔΠ: αὐχοῦντός τινος Ε δὲ Δ: δ' Π: λείπει Ε 16. ἡμίονος ΔΠ: ἡμίονος Ε φησι Π: φησί Ε: φησιν Δ 18. ὀψώνια ΔΠ: ὀψωνίαν Ε σὺ δ' οὐκ ἂν ἔφη ΔΠ: ἔφη σὺ δ' οὐκ ἂν Ε 19. ταῦτα τριωβόλου (τριοβόλου Π) ΔΠ: τριωβόλου ταῦτ' Ε 19-20. τοῦ δὲ ὁμολογήσαντος ΔΠ: ὁμολογήσαντος δὲ Ε 21. εἶπε Π: εἶπεν Δ: ἔφη Ε 24. ἔφη ὡς ἂν ΔΕ: ὡς ἂν ἔφη Π 26. ποτὲ ΠΕ: ποτὲ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

σίον ἠρίθμει· ἔπειτα εἰς θάλασσαν ὡς μὴ βουλόμενος κατέβαλε καὶ δῆθεν ἀνῴμωξε· καὶ ἔπειπεῖν φασιν αὐτὸν ὡς ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι. Διονυσίου ποτὲ ἐρομένου ἐπὶ τί ἥκοι, ἔφη ἐπὶ τῷ μεταδώσειν ὧν ἔχοι καὶ μεταλήψεσθαι ὧν μὴ ἔχοι. Ἔνιοι δ' οὕτως ἀποκρίνασθαι· Ὁπότε μὲν σοφίας ἐδεόμην, ἧκον παρὰ Σωκράτην, νῦν δὲ χρημάτων δεόμενος παρὰ σέ.

Κελεύσαντος Διονυσίου ποτὲ παρὰ πότον ἕκαστον τῶν ἐκεῖ σοφῶν ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, ὁ μὲν Πλάτων οὐ προσήκατο, εἰπὼν

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι πέπλον·

Ὁ δ' Ἀρίστιππος, λαβὼν καὶ μέλλων ὀρχήσασθαι, εὐστόχως εἶπε·

Καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

τὸ χρυσίον ἠρίθμει· ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων παρακατέβαλε καὶ δῆθεν ἀνῴμωξεν. οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτὸν ὡς ἄμεινον ταῦτα δι' Ἀρίστιππον ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι. Διονυσίου ποτ' ἐρομένου ἐπὶ τί ἥκοι, ἔφη ἐπὶ τῷ μεταδώσειν ὧν ἔχοι, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχοι. (78) ἔνιοι δ' οὕτως ἀποκρίνασθαι, «ὁπότε μὲν σοφίας ἐδεόμην, ἧκον παρὰ τὸν Σωκράτην· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἥκω.»

II, 8, 78. καὶ ποτε παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν Πλάτωνα μὴ προσέσθαι, εἰπόντα

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν·

τὸν δ' Ἀρίστιππον λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι εὐστόχως εἰπεῖν·

Καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

1. θάλασσαν ΔΠ: θάλατταν Ε  2. βουλόμενος κατέβαλε ΔΠ: θέλων παρακατέβαλε Ε  3. ἀνώμωξε ΔΠ: ἀνῴμωξεν. οἱ δὲ Ε  3-4. φασιν ΠΕ: φασὶν Δ  4-5. ὑπ' ἀριστίππου ΔΠ: δι' Ἀρίστιππον Ε  6. ποτὲ ΔΠ: ποτ' Ε  8-9. μεταλήψεσθαι ΔΕ: λήψεσθαι Π  9. ἔχοι ΔΕ: ἔχοι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἔχει Π  13. παρὰ ΔΠ: παρὰ τὸν Ε  σὲ ΔΠ: σὲ ἥκω Ε  15-19. κελεύσαντος — εἰπὼν ΔΠ: καί ποτε — εἰπόντα Ε  21. πέπλον ΔΠ: στολὴν Ε  22-23. ὁ δ' — εἶπε ΔΠ: τὸν δ' — εἰπεῖν Ε  26. οὖσ' Ε: οὖσα ΔΠ

ΙΩΑΝΝΙΝΑ 2006

Διονυσίου ποτὲ δεόμενος περὶ φίλου καὶ μὴ ἐπιτυγχάνων, ἐς πόδας αὐτοῦ ἔπεσε. Πρὸς οὖν τὸν ἐπισκώψαντα Οὐκ ἐγώ, φησιν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων. Διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπ' Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα Ὡς δὲ καὶ θαρρεῖς; Πότε γάρ, εἶπεν, ὦ μάταιε, θαρρήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι;

II, 8, 79. δεόμενός ποτε ὑπὲρ φίλου Διονυσίου καὶ μὴ ἐπιτυγχάνων εἰς τοὺς πόδας αὐτοῦ ἔπεσε· πρὸς οὖν τὸν ἐπισκώψαντα, «οὐκ ἐγώ, φησίν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων.» διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου πρὸς τὸν εἰπόντα, «καὶ ὧδε θαρρεῖς»; πότε γάρ, εἶπεν, ὦ μάταιε, θαρρήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι;»

Πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, Ἀλλὰ πρὸς Σωκράτην μέν, εἶπεν, ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς.

II, 8,80. πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, «ἀλλὰ πρὸς Σωκράτην μέν, εἶπεν, ἦλθον παιδείας ἕνεκεν, πρὸς δὲ Διονύσιον παιδιᾶς.»

Ἑταίρας εἰπούσης πρὸς αὐτὸν Ἐκ σοῦ κύω, Οὐ μᾶλλον, ἔφη, γινώσκεις, ἢ εἰ δι' ὁλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι. Ἠτιάσατο ποτέ τις αὐτὸν ὡς τὸν υἱὸν ἀπορριπτοῦντα ὥσπερ οὐκ ἐξ ἑαυτοῦ γεγονότα· καὶ ὅς Καὶ τὸ φλέγμα, φησί, καὶ τοὺς φθεῖρας ἴσμεν ἐξ ἡμῶν γεννωμένους, ἀλλ'

II, 8, 81. ἑταίρας εἰπούσης πρὸς αὐτόν, «ἐκ σοῦ κυῶ», «οὐ μᾶλλον, ἔφη, γινώσκεις ἢ εἰ δι' ὁλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι.» ἠτιάσατό τις αὐτὸν τὸν υἱὸν ἀπορριπτοῦντα ὥσπερ οὐκ ἐξ ἑαυτοῦ γεγονότα· καὶ ὅς, «καὶ τὸ φλέγμα, φησί, καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεν-

1-2. διονυσίου ποτε δεόμενος περὶ φίλου Δ: διονυσίου ποτε περὶ φίλου δεόμενος Π: δεόμενός ποτε ὑπὲρ φίλου Διονυσίου Ε 2. ἐς ΔΠ: εἰς τοὺς Ε 7. ὑπ' ΔΠ: ὑπὸ Ε 9. ὡς δὲ καὶ ΔΠ: καὶ ὧδε Ε 11. ὅτε ΔΕ: ὁπότε Π 15. πρὸς ΔΕ: ἐπὶ Π 16. σωκράτην ΔΕ: σωκράτη Π 17. δεόμενος ΔΠ: ἕνεκεν Ε 21. κύω ΔΠ: κυῶ Ε 24. ἠτιάσατο ποτέ ΔΠ: ἠτιάσατό Ε ὡς ΔΠ: λείπει Ε 27. φλέγμα ΠΕ: φθλέγμα Δ 28. ἴσμεν ἐξ ἡμῶν ΔΠ: ἐξ ἡμῶν ἴσμεν Ε

Ε.Γ.Σ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀχρεῖα ὄντα ὡς πορρωτάτω ῥιπτοῦμεν.

Ἤτει Διονύσιον ἀργύριον· καὶ ὅς· Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. Ὁ δ' ὑπολαβών, Δός, εἶπε, καὶ περὶ τούτου ζητοῦμεν. Δόντος δέ, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα;

Θεόδωρος ὁ ἄθεος δοκεῖ θεὸς κληθῆναι, Στίλπωνος αὐτὸν ἐρωτήσαντος οὕτως· Ἀρά γε, ὦ Θεόδωρε, ὃ φὴς εἶναι, τοῦτο καὶ εἶ; Ἐπινεύσαντος δέ, Φής, εἶπεν, εἶναι θεός; Τοῦ δὲ ὁμολογήσαντος, θεὸς εἶ ἄρα, ἔφη· δεξαμένου δ' ἀσμένως, γελάσας φησίν· Ἀλλ', ὦ μόχθηρε, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσαις εἶναι καὶ ἄλλα μυρία.

Οὗτος ὁ Θεόδωρος, προςκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, Λέγε μοι, ἔφη, Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια. Εἰπόντος δ' ἐκείνου Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, Ἀσεβεῖς ἄρα καὶ σύ,

νωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς πορρωτάτω ῥιπτοῦμεν.»

II, 8, 82. ἤτει Διονύσιον ἀργύριον, καὶ ὅς, «ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν·» ὁ δ' ὑπολαβών, «δός, εἶπε, καὶ περὶ τούτου ζητῶμεν.» δόντος δέ, «ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα;»

II, 8, 86. Θεόδωρος ὁ ἄθεος· . . . (100) Δοκεῖ δὲ θεὸς κληθῆναι, Στίλπωνος αὐτὸν ἐρωτήσαντος οὕτως, «ἆρά γε, Θεόδωρε, ὃ φὴς εἶναι, τοῦτο καὶ εἶ;» ἐπινεύσαντος δέ, «φὴς δ' εἶναι θεόν;» τοῦ δ' ὁμολογήσαντος, «θεὸς εἶ ἄρα,» ἔφη. δεξαμένου δ' ἀσμένως, γελάσας φησίν, «ἀλλ', ὦ μόχθηρε, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσειας εἶναι καὶ ἄλλα μυρία.»

II, 8,101. Ὁ δ' οὖν Θεόδωρος προςκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, «λέγε μοι, ἔφη, Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια.» εἰπόντος δ' ἐκείνου, «οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες,» «ἀσεβεῖς ἄρα, ἔφη,

5. ὁ δ' ὑπολαβὼν ΠΕ: λείπουσι Δ 6. εἶπε ΠΕ: ἔφη Δ 6-7. ζητοῦμεν ΔΠ: ζητῶμεν Ε 9. δοκεῖ ΔΠ: δοκεῖ δὲ Ε 10. στίλπωνος αὐτὸν ΠΕ: στίλπνωνος Δ 10-11. ἐρωτήσαντος ΠΕ: ἐρωτήσαντος αὐτὸν Δ 11. οὕτως ΠΕ: οὕτω Δ ἀρά Ε: ἄρα ΔΠ ὦ ΔΠ: λείπει Ε 13. εἶπεν ΔΠ: δ' Ε 14. θεός ΔΠ: θεόν Ε δέ ΔΠ: δ' Ε 15. εἶ ἄρα ΠΕ: ἄρα εἶ Δ δ' ΠΕ: δὲ Δ 18. ὁμολογήσαις ΔΠ: ὁμολογήσειας Ε 21. οὗτος ὁ θεόδωρος Π: ὁ δ' οὖν Θεόδωρος Ε: λείπουσι Δ 23. λέγε ΠΕ: θεόδωρος, λέγε Δ 27. ἀσεβεῖς Ε: ἀσεβὴς ΔΠ ἄρα καὶ σὺ ἔφη Δ: εἶ καὶ σὺ ἄρα ἔφη Π: ἄρα, ἔφη, καὶ σύ Ε

ἔφη, τοῖς ἀμυήτοις διηγούμενος.

Διατρίβων δὲ παρὰ Πτολεμαίῳ τῷ Λάγου, ἀπεστάλη ποτὲ ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής. Καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος· Λέγε μοι, ὦ Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν; Καὶ ὅς· Ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις, οὐ δυναμένη με φέρειν, ὥςπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε. Πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς αὖθις. Οὐκ ἄν, ἔφη, ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ. Μίθρου δὲ τοῦ διοικητοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰπόντος Ἔοικας σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν, ἀλλὰ καὶ βασιλέας, Πῶς, εἶπεν, ἀγνοῶ, ὅπου γε καὶ σὲ θεοῖς ἐχθρὸν εἶναι νομίζω. Φασὶ δὲ ἐν Κορίνθῳ ποτὲ παρέρχεσθαι αὐτὸν συχνοὺς ἐπαγόμενον μαθητὰς, Μητροκλέα δὲ τὸν κυνικὸν σκάνδικας πλύνοντα εἰπεῖν Σὺ εἶ ὁ σοφιστής; Οὐκ ἂν τοσούτων ἔχρηζες μαθητῶν, εἰ

καὶ σύ, τοῖς ἀμυήτοις διηγούμενος.»

II, 8,102. Διατρίβων δὲ παρὰ Πτολεμαίῳ τῷ Λάγου ἀπεστάλη ποθ' ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής. ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, «λέγε μοι, Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν;» καὶ ὅς, «ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥςπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε.» πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, «[βλέπε] ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι,» «οὐκ ἄν, ἔφη, ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ.» Μίθρου δὲ τοῦ διοικητοῦ τοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰπόντος, «ἔοικας σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν ἀλλὰ καὶ βασιλέας,» «πῶς, εἶπεν, ἀγνοῶ, ὅπου γε καὶ θεοῖς σε ἐχθρὸν εἶναι νομίζω;» Φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν συχνοὺς ἐπαγόμενον μαθητάς, Μητροκλέα δὲ τὸν κυνικὸν σκάνδικας πλύνοντα εἰπεῖν, «σὺ ὁ σοφιστὴς οὐκ ἂν τοσούτων ἔχρηζες μαθη-

4. ποτὲ Δ: ποθ' Ε: λείπει Π 6. καὶ ΔΠ: ὅτε καὶ Ε 7. ὦ ΔΠ: λείπει Ε 10. Μεταξὺ τῶν λέξεων ἀθηναίων καὶ πόλις περίπου δύο γράμματα διεξεσμένα Π 12. διόνυσον ΔΕ: διονύσιον Π 13. δ' ΠΕ: δὲ Δ 15. αὖθις ΔΠ: ἔτι Ε 16. μίθρου ΠΕ: μιθριδάτου Δ 17. λυσιμάχου ΠΕ: βασιλέως Δ: τοῦ λυσιμάχου Ε 19. σὺ ΠΕ: λείπει Δ 21. σὲ θεοῖς ΔΠ: θεοῖς σε Ε 22. δὲ ΔΠ: δέ ποτε Ε ἐν Κορίνθῳ ποτὲ ΔΠ: ποτὲ ἐν Κορίνθῳ Ε 25. τὸν ΠΕ: λείπει Δ 26. εἶ ΔΠ: λείπει Ε



Ε. ΛΑΠ Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λάχανα ἔπλυνες. Τὸν δ' ὑπολαβόντα εἰπεῖν· Καὶ σύ, εἴπερ ἀνθρώποις ᾔδεις ὁμιλεῖν, οὐκ ἂν τούτοις τοῖς λαχάνοις ἐχρῶ.

τῶν, εἰ λάχανα ἔπλυνες·» τὸν δ' ὑπολαβόντ' εἰπεῖν, «καὶ σὺ εἴπερ ἀνθρώποις ᾔδεις ὁμιλεῖν, οὐκ ἂν τούτοις τοῖς λαχάνοις ἐχρῶ.»

Τελευταῖον δ' εἰς Κυρήνην ἐλθὼν κἀκεῖθεν ἐκβαλλόμενος, λέγεται χαριέν τι εἰπεῖν· Ἄνδρες Κυρηναῖοι, καλῶς ποιεῖτε ἐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με ἐξορίζοντες.

II. 8, 103. τελευταῖον δ' εἰς Κυρήνην ἀπελθὼν καὶ Μάγᾳ συμβιοὺς ἐν πάσῃ τιμῇ διετέλει τυγχάνων. ἔνθεν τὸ πρῶτον ἐκβαλλόμενος λέγεται χαριέν τι εἰπεῖν· ἔφη γάρ, «καλῶς ποιεῖτε, ἄνδρες Κυρηναῖοι, ἐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με ἐξορίζοντες.»

Στίλπων ὁ Μεγαρεύς, ἀκόλαστον ἔχων θυγάτριον καὶ εἰπόντος τινὸς ὡς καταισχύνοι αὐτόν, Οὐ μᾶλλον, εἶπεν, ἢ ἐγὼ ταύτην κοσμῶ.

II, 11, 113. Στίλπων Μεγαρεύς.... (114) καὶ θυγατέρα ἀκόλαστον ἐγέννησεν, ἣν ἔγημε γνώριμός τις αὐτοῦ Σιμίας Συρακόσιος. ταύτης οὐ κατὰ τρόπον βιούσης εἶπέ τις πρὸς τὸν Στίλπωνα, ὡς καταισχύνοι· ὁ δέ, «οὐ μᾶλλον, εἶπεν, ἢ ἐγὼ ταύτην κοσμῶ.»

Τοῦτόν φασι περὶ τῆς Φειδίου Ἀθηνᾶς τοιοῦτόν τινα λόγον ἐρωτῆσαι· Ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ θεός ἐστι; Φήσαντος δέ τινος Ναί,

II, 11, 116. Τοῦτόν φασιν περὶ τῆς Ἀθηνᾶς τῆς τοῦ Φειδίου τοιοῦτόν τινα λόγον ἐρωτῆσαι· «ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ θεός ἐστι;»

1. δ' ΠΕ: δὲ Δ  1-2. ὑπολαβόντα ΔΠ: ὑπολαβόντ' Ε  4. τοῖς λαχάνοις ἐχρῶ ΔΕ: ἐχρῶ τοῖς λαχάνοις Π  5. δ' ΠΕ: δὲ Δ  5-6. ἐλθὼν Π: ἀπελθὼν Ε: ἀπάρας Π  6-8. κἀκεῖθεν — ποιεῖτε ΔΠ: καὶ Μάγᾳ — Κυρηναῖοι Ε  8. καλῶς Ε: κακῶς ΔΠ  9. εἰς ΔΕ: ἐς Π  15-17. στίλπων — αὐτὸν ΔΠ: Στίλπων — ὁ δὲ Ε  15. Στίλπων ΠΕ: Στίλπνων Δ  16. καὶ Δ: λεῖπει Π  24. τοῦτόν φασι ἔγραψα: τοῦτον φασὶ ΔΠ: τοῦτόν φασιν Ε  24-25. φειδίου ἀθηνᾶς ΔΠ: Ἀθηνᾶς τῆς τοῦ Φειδίου Ε  25. τοιοῦτόν τινα ΕΠ: τοιοῦτον τινὰ Δ  27. δέ τινος ΔΠ: δέ Ε

| | |
|---|---|
| Αὕτη γε, εἶπεν, οὐκ ἔστι Διός, ἀλλὰ Φειδίου. Συγχωρουμένου δέ, Οὐκ ἄρα, εἶπε, θεὸς αὕτη ἐστίν. Ἐφ' ᾧ καὶ εἰς Ἄρειον Πάγον προςκληθέντα μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι· μὴ γὰρ εἶναι αὐτὴν θεόν, ἀλλὰ θεάν· θεοὺς δ' εἶναι τοὺς ἄρρενας. Τούτου χάριν σκώπτων αὐτὸν Θεόδωρος εἶπε· Πόθεν δὲ τοῦτ' ᾔδεις, Στίλπων, ἢ ἀνασύρας αὐτῆς θοἰμάτιον ἐθεάσω; | φήσαντος δέ, «ναί», «αὕτη δέ γε, εἶπεν, οὐκ ἔστι Διός, ἀλλὰ Φειδίου·» συγχωρουμένου δέ, «οὐκ ἄρα, εἶπε, θεός ἐστιν.» ἐφ' ᾧ καὶ εἰς Ἄρειον πάγον προςκληθέντα μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι· μὴ γὰρ εἶναι αὐτὴν θεόν, ἀλλὰ θεάν· θεοὺς δὲ εἶναι τοὺς ἄρρενας... ὅτε καὶ Θεόδωρον τὸν ἐπίκλην θεὸν ἐπισκώπτοντα εἰπεῖν, «πόθεν δὲ τοῦτ' ᾔδει Στίλπων; ἢ ἀνασύρας αὐτῆς τὸν κῆπον ἐθεάσατο;» |
| Κράτητος τοῦ κυνικοῦ πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκριναμένου, ἀποπαρδόντος δέ, Ἤδειν, ἔφη ὁ Στίλπων, ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ. | II, 11, 117. Κράτητος γοῦν ποτε τοῦ κυνικοῦ πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκριναμένου, ἀποπαρδόντος δέ, «ᾔδειν, ἔφη, ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ.» |
| Ἀλλὰ καὶ ἰσχάδας προτείναντος αὐτῷ καὶ ἐρώτημα, δεξάμενος κατέφαγε. Τοῦ δὲ Ὦ Ἡράκλεις ἀπολώλεκα τὰς ἰσχάδας εἰπόντος, Οὐ μόνας, ἔφη, ἀλλὰ καὶ τὸ ἐρώτημα, οὗ ἦν ἀρραβὼν ἡ ἰσχάς. | II, 11, 118. ἀλλὰ καὶ ἰσχάδα προτείναντος αὐτῷ ποτε καὶ ἐρώτημα, δεξάμενον καταφαγεῖν· τοῦ δέ, «ὦ Ἡράκλεις, εἰπόντος, ἀπολώλεκα τὴν ἰσχάδα·» «οὐ μόνον ἔφη, ἀλλὰ καὶ τὸ ἐρώτημα, οὗ ἦν ἀρραβὼν ἡ ἰσχάς.» |

1. γε ΔΠ: δέ γε Ε 3. ἄρα ΔΕ: ἆρα Π αὕτη ΔΠ: λείπει Ε ἐστιν ΔΕ: ἐστὶν Π 4. ἐφ' ᾧ Ε: ἐφῶ ΔΠ 6. φάσκειν Ε: φάσκων ΔΠ δ' ΠΕ: λείπει Δ 8. δ' ΔΠ: δὲ Ε 8-11. τούτου χάριν — εἶπε ΔΠ: ὅτε καὶ — εἰπεῖν Ε 10. ᾔδεις ΔΠ: ᾔδει Ε 11. Στίλπων Ε: στίλπνων ΔΠ αὐτῆς ΠΕ: αὐτὴν Δ 11-12. θοἰμάτιον ἔγραψα: θοιμάτιον ΔΠ: λείπει Ε 12. ἐθεάσω ΔΠ: ἐθεάσατο Ε 14. τοῦ ΔΠ: γοῦν ποτε τοῦ Ε 16-17. ὁ Στίλπων ἔγραψα: ὁ στίπλνων Δ: ὁ στίλπνων Π: λείπουσι Δ 19 (καὶ 22) ἰσχάδας ΔΠ: ἰσχάδα Ε 20. αὐτῶ ΔΠ: αὐτῷ ποτε Ε 20-21. δεξάμενος κατέφαγε ΔΠ: δεξάμενον καταφαγεῖν Ε 22-23. ἀπολώλεκα — εἰπόντος ΔΠ: εἰπόντος — ἰσχάδα Ε 22. τὰς ΠΔ: τὴν Ε 23. μόνας ΔΠ: μόνον Ε 24. ἀρραβὼν Ε: ἀραβὼν ΔΠ

Φασὶ δ' αὐτὸν ὁμιλοῦντα Κράτητι μεταξὺ σπεῦσαι ἰχθῦς πρίασθαι· τοῦ δ' ἐπισπωμένου καὶ φάσκοντος Καταλείπεις τὸν λόγον, Οὐκ ἔγωγε, ἔφη, ἀλλὰ τὸν [μὲν] λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμένει, τὸ δ' ὄψον πεπράσεται.

II, 11, 119. φασὶ δ' αὐτὸν ὁμιλοῦντα Κράτητι μεταξὺ σπεῦσαι ἰχθῦς πρίασθαι· τοῦ δ' ἐπισπωμένου καὶ φάσκοντος, «καταλείπεις τὸν λόγον»; «οὐκ ἔγωγε, ἔφη, ἀλλὰ τὸν μὲν λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμενεῖ, τὸ δ' ὄψον πεπράσεται.»

Σωκράτης ὄναρ εἶδεν, ὥς φασι, κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παρὰ χρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα· καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι· τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν.

III, 5. λέγεται δ' ὅτι Σωκράτης ὄναρ ἔδοξε κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα· καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι· τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν.

Πλάτων ἐφ' ἵππου καθίσας εὐθέως κατέβη, φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ.

III, 39. ἐφ' ἵππου καθίσας εὐθέως κατέβη, φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ.

Πίνειν τε εἰς μέθην οὐδαμοῦ πρέπον ἔλεγε πλὴν ἐν ταῖς ἑορταῖς τοῦ καὶ τὸν οἶνον δόντος θεοῦ.

III, 39. πίνειν δ' εἰς μέθην οὐδαμοῦ πρέπον ἔλεγε πλὴν ἐν ταῖς ἑορταῖς τοῦ [καὶ] τὸν οἶνον δόντος θεοῦ.

Ἐπίγραμμα.

Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον, ἢ τίνος, εἰπέ,

III, 43. ἐπεγράφη δ' αὐτοῦ τῷ τάφῳ ἐπιγράμματα τάδε· . . .

(44) Α. Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον, ἢ τίνος, εἰπέ,

1 (καὶ 3) δ' ΠΕ: δὲ Δ  3. ἐπισπωμένου Ε: ἐπισπομένου ΔΠ  6. μὲν Ε: λείπει ΔΠ  7. περιμένει ΔΠ: περιμενεῖ Ε  11. Σωκράτης—φασι ΔΠ: λέγεται—ἔδοξε Ε  ὥς Π: ὡς Δ  13. παρὰ χρῆμα ἔγραψα: παραχρῆμα ΔΠΕ  15. μεθ' ἡμέραν Ε: μεθημέραν ΔΠ  18. πλάτων ΔΠ: λείπει Ε  22. τε ΔΠ: δ' Ε  24. καὶ ΔΠ: [καὶ] Ε  26. Ἐπίγραμμα ΔΠ: ἐπεγράφη—τάδε Ε  28. αἰετὲ Ε: ἀετὲ ΔΠ

| | |
|---|---|
| ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις; | ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις; |
| Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον· εἰκών, σῶμα δὲ [γῆ] γηγενὲς Ἀτθὶς ἔχει. | Β. ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον εἰκών, σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει. |
| Ἕτερον, ὡς ἐτελεύτησε· Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα, τὸν μὲν ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σάοι. | (45)...Καὶ ἄλλο, ὡς ἐτελεύτα· Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα, τὸν μὲν ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σάοι... |
| Οὗτος ἀθάνατον ἐδόξαζε τὴν ψυχὴν καὶ πολλὰ μεταμφιεννυμένην σώματα καὶ εἶναι τριμερῆ· καὶ τὸ μὲν λογιστικὸν αὐτῆς περὶ τὴν κεφαλὴν καθιδρῦσθαι, τὸ δὲ θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ. | III, 67. ἀθάνατον ἔλεγε τὴν ψυχὴν καὶ πολλὰ μεταμφιεννυμένην σώματα, ἀρχήν τε ἔχειν ἀριθμητικήν, τὸ δὲ σῶμα γεωμετρικήν· ὡρίζετο δ' αὐτὴν ἰδέαν τοῦ πάντῃ διεστῶτος πνεύματος. αὐτοκίνητον δ' εἶναι καὶ τριμερῆ· τὸ μὲν γὰρ αὐτῆς λογικὸν μέρος περὶ τὴν κεφαλὴν καθιδρῦσθαι, τὸ δὲ θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ συνίστασθαι. |
| Σπεύσιππος ὁ φιλόσοφος ὁ Πλάτωνος ἀδελφιδοῦς ὑπὸ θυμοῦ τὸ κυνάριον εἰς φρέαρ ἔρριψε, καὶ ὑφ' ἡδονῆς ἦλθεν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασάνδρου γάμον. | IV, 1, 1. Διεδέξατο δ' αὐτὸν Σπεύσιππος.... υἱὸς δὲ τῆς ἀδελφῆς αὐτοῦ Ποτώνης... φασὶ γοῦν αὐτὸν ὑπὸ θυμοῦ τὸ κυνίδιον εἰς τὸ φρέαρ ῥίψαι καὶ ὑφ' ἡδονῆς |

3. εἰμι ΔΠ: εἰμὶ Ε 5. γῆ Ε: λείπει ΔΠ 7. ἕτερον ὡς ἐτελεύτησε ΔΠ: καὶ ἄλλο ὡς ἐτελεύτα Ε 8. ἔφυσε Ε: ἔφησε ΔΠ 12. οὗτος ἀθάνατον ἐδόξαζε τὴν ψυχὴν Δ: ἀθάνατον τὴν ψυχὴν πλάτων ἐδόξαζε Π: ἀθάνατον ἔλεγε τὴν ψυχὴν Ε 14. καὶ εἶναι τριμερῆ ΔΠ: ἀρχήν τε—τριμερῆ Ε 15. καὶ τὸ μὲν ΔΠ: τὸ μὲν γὰρ Ε λογιστικὸν αὐτῆς ΔΠ: λογικὸν μέρος Ε 16. καθιδρῦσθαι Ε: καθιδρύσθαι ΔΠ 19. ἧπαρ ΔΠ: ἧπαρ συνίστασθαι Ε 24. σπεύσιππος—ἀδελφιδοῦς ΔΠ: Διεδέξατο—αὐτὸν Ε 26. κυνάριον ΔΠ: κυνίδιον Ε: ἔρριψε ΔΠ: ῥίψαι Ε 27. ἦλθεν ΔΠ: ἐλθεῖν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. – Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐλθεῖν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασάνδρου γάμον.

Τοῦτόν φασι, διὰ τὸ παραλελῦσθαι τὸ σῶμα ἐφ' ἁμαξίου φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει καὶ Χαῖρε εἰπεῖν· τὸν δὲ φάναι Ἀλλὰ μὴ σύ γε, ὅςτις ὑπομένεις ζῆν τοιοῦτος ὤν.

IV, 1, 3. Ἤδη δὲ ὑπὸ παραλύσεως καὶ τὸ σῶμα διέφθαρτο... Φασὶ δὲ αὐτὸν ἐπ' ἁμαξίου φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει καὶ Χαῖρε εἰπεῖν· τὸν δὲ φάναι, «ἀλλὰ μὴ σύ γε, ὅςτις ὑπομένεις ζῆν τοιοῦτος ὤν.»

Ξενοκράτης ὁ φιλόσοφος νωθρὸς ἦν τὴν φύσιν, ὥςτε λέγειν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ, καὶ Ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω. Ἦν δὲ καὶ σκυθρωπός, ὥςτε αὐτῷ λέγειν τὸν Πλάτωνα Ξενόκρατες, θῦε ταῖς Χάρισι.

IV, 2, 6. Ξενοκράτης... Ἦν δὲ τὴν φύσιν νωθρός, ὥςτε λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει, «τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ.» καὶ «ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω.» Σεμνὸς δὲ τά τ' ἄλλα Ξενοκράτης καὶ σκυθρωπὸς ἀεί, ὥςτε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, «Ξενόκρατες, θῦε ταῖς Χάρισι.»

Καί ποτε καὶ Φρύνην τὴν ἑταίραν πειρᾶσαι αὐτόν φασι, καὶ δῆθεν διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον Ξενοκράτους. Τὸν δὲ εἰςδέξασθαι, καί, ἑνὸς

IV, 2, 7. καί ποτε καὶ Φρύνην τὴν ἑταίραν ἐθελῆσαι πειρᾶσαι αὐτόν, καὶ δῆθεν διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον. τὸν δὲ ἕνεκα τοῦ ἀνθρω-

3-4. τοῦτόν—σῶμα ΔΠ: Ἤδη—αὐτὸν Ε 3. τοῦτόν φασι ἔγραψα: τοῦτον φασὶ ΔΠ παραλελῦσθαι ἔγραψα: παραλελύσθαι ΔΠ 4. ἐφ' ἔγραψα: ὑφ' ΔΠ: ἐπ' Ε ἁμαξίου ΔΠ: ἀμαξίου Ε 6. διογένει ΠΕ: διογένην Δ 12-13. Ξενοκράτης — φύσιν ΔΠ: Ξενοκράτης — νωθρός Ε 14. πλάτωνα ΔΠ: τὸν Πλάτωνα Ε 16. τῷ δὲ ΔΕ: τοῦ ἐκ τοῦ τὸ πρῶτον γραφέντος τῷ Π 17-18. ἦν δὲ καὶ σκυθρωπὸς ΔΠ: Σεμνὸς — ἀεὶ Ε 18. λέγειν ΔΠ: λέγειν συνεχὲς Ε 19. θῦε Ε: θύε ΔΠ 23. πειρᾶσαι αὐτόν φασι ΔΠ: ἐθελῆσαι πειρᾶσαι αὐτὸν Ε 24. διωκομένην ὑπό τινων ΠΕ: ὑπό τινων διωκομένην Δ 25. οἰκίδιον ξενοκράτους Δ: ξενοκράτους οἰκίδιον Π: οἰκίδιον Ε 26. δὲ ΔΠ: δὲ ἕνεκα τοῦ ανθρωπίνου Ε

ὄντος κλινιδίου, μεταδοῦναι αὐτῇ δεομένῃ κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαροῦσαν ἄπρακτον διαναστῆναι. λέγειν τε πρὸς τοὺς πυνθανομένους ὡς οὐκ ἀπ' ἀνδρός, ἀλλ' ἀπ' ἀνδριάντος ἀνασταίη. Ἔνιοι δὲ Λαΐδα φασίν. Ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα, ὥςτε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. Καὶ δὴ καὶ αὐταρκέστατος ἦν. Ἀλεξάνδρου γοῦν συχνὸν ἀργύριον ἀποστείλαντος αὐτῷ, τριςχιλίας ἀττικὰς ἀφελών, τὸ λοιπὸν ἀπέπεμψεν, εἰπὼν ἐκείνῳ πλειόνων δεῖν πλείονας τρέφοντι.

Πρεσβεύων δὲ πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων καὶ κληθεὶς ἐπὶ δεῖπνον, εἶπε πρὸς αὐτὸν ταυτί·

Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς αἰνέσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
πρὶν λύσασθ' ἑτάρους καὶ [ἐν] ὀφθαλμοῖσιν ἰδέσθαι;

πίνου εἰςδέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου δεομένῃ μεταδοῦναι τῆς κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαροῦσαν ἄπρακτον ἀναστῆναι. λέγειν τε πρὸς τοὺς πυνθανομένους ὡς οὐκ ἀπ' ἀνδρός, ἀλλ' ἀπ' ἀνδριάντος ἀνασταίη. ἔνιοι δὲ Λαΐδα φασὶ παρακατακλῖναι αὐτῷ τοὺς μαθητάς... Ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα, ὥςτε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. (8) Καὶ δὴ καὶ αὐταρκέστατος ἦν. Ἀλεξάνδρου γοῦν ποτὲ συχνὸν ἀργύριον ἀποστείλαντος αὐτῷ, τριςχιλίας Ἀττικὰς ἀφελὼν τὸ λοιπὸν ἀπέπεμψεν, εἰπὼν ἐκείνῳ πλειόνων δεῖν πλείονας τρέφοντι.

IV, 2,9. ἀλλὰ καὶ πρεσβεύων πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων κατὰ τὸν Λαμιακὸν πόλεμον, καὶ κληθεὶς ἐπὶ δεῖπνον πρὸς αὐτὸν προςηνέγκατο ταυτί·

Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,

1-2. μεταδοῦναι αὐτῇ δεομένῃ ΔΠ: δεομένῃ μεταδοῦναι Ε 4. διαναστῆναι ΔΠ: ἀναστῆναι Ε 7. ἔνιοι ΠΕ: οἱ Δ φασίν ΔΠ: φασὶ — μαθητὰς Ε 12. γοῦν ΔΠ: γοῦν ποτὲ Ε 13. τριςχιλίας Ε: τρισμυρίας ΔΠ 19. Ἐν τῇ ὤᾳ γέγραπται ἐρυθρὸν Σημείωσαι Δ πρεσβεύων δὲ ΔΠ: ἀλλὰ καὶ πρεσβεύων Ε 20. ἀθηναίων Π: τῶν ἀθηναίων Δ: Ἀθηναίων κατὰ τὸν Λαμιακὸν πόλεμον Ε 21-22. εἶπε — ταυτὶ ΔΠ: πρὸς — ταυτί Ε 25. πάσσασθαι Ε: πάσασθαι ΔΠ 27. λύσασθ' ἑτάρους Ε: λύσασθαι ἑταίρους ΔΠ ἐν Ε: λείπει ΔΠ

Ε.Υ.ΔΤΠ-Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ὅς, ἀποδεξάμενος τὴν εὐστοχίαν, εὐθὺς ἀνῆκε.

πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
καὶ τὸν ἀποδεξάμενον τὴν εὐστοχίαν εὐθὺς ἀφεῖναι.

Σκωπτόμενος δὲ ὑπὸ Βίωνος, οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι· μηδὲ γὰρ τὴν τραγῳδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένην ἀποκρίσεως ἀξιοῦν.

IV, 2, 10. σκωπτόμενος ὑπὸ Βίωνος οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι· μηδὲ γὰρ τὴν τραγῳδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένην ἀποκρίσεως ἀξιοῦν.

Στρουθοῦ διωκομένου ὑπὸ ἱέρακος καὶ εἰςπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθῆκεν, εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι.

IV, 2, 10. Στρουθίου δέ ποτε διωκομένου ὑπὸ ἱέρακος καὶ εἰςπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθῆκεν, εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι.

Εἰπόντος Διονυσίου Πλάτωνι ὡς ἀφαιρήσει τις αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον, Οὐκ ἄν γε, ἔφη, τὶς πρότερον τούτου.

IV, 2, 11. εἰπόντος δὲ Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσεται αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον, «οὐκ ἄν γε, ἔφη, τὶς πρότερον τούτου.»

Πρὸς τὸν μήτε μουσικὴν μήτε γεωμετρικὴν μήτε ἀστρονομίαν εἰδότα βουλόμενον δὲ παρ' αὐτῷ φοιτᾶν· Ἀπότρεχε, ἔφη· πόκος παρ' ἡμῖν οὐ κνάμπτεται.

IV, 2, 10. Πρὸς δὲ τὸν μήτε μουσικὴν μήτε γεωμετρίαν μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν, «πορεύου, ἔφη· λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας.» οἱ δὲ τοῦτό φασιν εἰπεῖν, «παρ' ἐμοὶ γὰρ πόκος οὐ κνάπτεται.»

1. ὅς ἀποδεξάμενος ΔΠ: τὸν ἀποδεξάμενον Ε 2. ἀνῆκε Π: ἀνῆκεν Δ: ἀφεῖναι Ε 5. δὲ ΔΠ: λείπει Ε 10. στρουθοῦ ΔΠ: Στρουθίου δέ ποτε Ε 15. εἰπόντος ΔΠ: εἰπόντος δὲ Ε πλάτωνι ΔΠ: πρὸς Πλάτωνα Ε 16. ἀφαιρήσει τις (τὶς) ΔΠ: ἀφαιρήσεται Ε 19. τούτου ΔΕ: τοῦτον Π 20. τὸν ΔΠ: δὲ τὸν Ε 21. γεωμετρικὴν ΔΠ: γεωμετρίαν Ε 21-22. εἰδότα ΔΠ: μεμαθηκότα Ε 22. αὐτῷ ΔΠ: αὐτὸν Ε 23. ἀπότρεχε ΔΠ: πορεύου Ε ἔφη ΔΠ: ἔφη—εἰπεῖν Ε 23-24. πόκος παρ' ἡμῖν ΔΠ: παρ' ἐμοὶ γὰρ πόκος Ε 24. κνάμπτεται ΔΠ: κνάπτεται Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΗΣ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἀρκεσίλαος διήκουσεν Ἱππονίκου τοῦ γεωμέτρου, ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα ῥάθυμον ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

Χῖός τις ὢν ἀειδὴς καὶ κίναιδος ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη·

Ἔξεστ᾽ ἐρωτᾶν πότνιά σ᾽ ἢ σιγὴν ἔχειν;

Ὁ δὲ ὑπολαβὼν ἔφη·

Γύναι τί μοι τραχεῖα κ᾽ οὐκ εἰθισμένως λαλεῖς;

Στωμύλου δ᾽ ἀγεννοῦς αὐτῷ πράγματα παρέχοντος, ἔφη·

Ἀκόλασθ᾽ ὁμιλεῖν γίγνεται δούλων τέκνα.

Ἄλλου δὲ πολλὰ φλυαροῦντος, οὐδὲ τίτθης χαλεπῆς τετυχηκέναι ἔφη. Πρός δέ τινα δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν εἶπε·

IV, 6, 32. Διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

IV, 6, 34. Ἥμονος δέ τινος Χίου ἀειδοῦς ὄντος . . . . ἐπεὶ δὲ καὶ παρακίναιδος ὢν ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη·

(35) Ἔξεστ᾽ ἐρωτᾶν πότνιά σ᾽ ἢ σιγὴν ἔχειν;

ὑπολαβὼν ἔφη·

Γύναι τί μοι τραχεῖα κοὐκ εἰθισμένως λαλεῖς;

στωμύλου δὲ ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη·

Ἀκόλασθ᾽ ὁμιλεῖν γίγνεται δούλων τέκνα.

ἄλλου δὲ πολλὰ φλυαροῦντος οὐδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη· τισὶ δὲ οὐδὲ ἀπεκρίνετο. πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν, ἔφη·

1. Ἀρκεσίλαος ΔΠ: Διήκουσε δὲ καὶ Ε 2. τοῦ γεωμέτρου ΠΕ: λείπουσι Δ 3. ῥάθυμον ΔΠ: νωθρὸν Ε 8. Χῖός — κίναιδος ΔΠ: Ἥμονος — παρακίναιδος Ε Χῖός ἔγραψα: χῖος ΔΠ ἀειδὴς ἔγραψα: ἀηδὴς ΔΠ 12. ἔξεστ᾽ Ε: ἐξέστιν ΔΠ σ᾽ Ε: σε ΔΠ 14. ὁ δὲ ΔΠ: λείπουσιν Ε 15. τραχεῖα κοὐκ Ε: τραχέα καὶ οὐκ ΔΠ 18. δ᾽ ΔΠ: δὲ Ε 18-19. αὐτῷ πράγματα ΔΠ: πράγματα αὐτῷ Ε 20. Ἀκόλασθ᾽ Ε: ἀκόλαστα ΔΠ γίγνεται Ε: γίνεται Π: γίνηται Δ 23. τίτθης Π: τίτθης ἔφη Δ: τίτθης αὐτὸν Ε 24. ἔφη Π: λείπει Δ: ἔφη — ἀπεκρίνετο Ε δέ τινα ΔΠ: δὲ τὸν Ε 25. φιλόλογον Ε: φιλολόγον ΔΠ τι Ε: τί ΔΠ εἶπε ΔΠ: ἔφη Ε